Quæ igitur penes ipſum ſunt, vt facere omittat, facit non ignorans, & per ſe, ea vtique voluntaria ſunt, & voluntarium id ipſum eſt: quæ verò ignorans, ex eo quod ignorat, ea inuitus facit. Porrò quia ſcire, & intelligere bifariàm capiuntur, vel vt habeatur, vel vt vſurpetur ſcientia, qui habens non vtitur, interdum ignorans meritò dicitur, interdum verò nequaquam, velut ſi per negligentiam non vtatur. Similiter & is vituperetur, qui vel facilium, vel neceſſariorum peritiam, & per negligentiam, aut dolorem aliquem, voluptatémque non veſtiget. Hæc loco huic inſerenda videbantur. De voluntario igitur & inuoluntario hoc modo determinatum ſit.

CAPVT X.

De electione verò deinceps dicemus, expoſitis primùm nonnullis quæſtionibus. Ambigat enim fortaſſe quis, in quo genere oriantur, tum in quali conſtituenda ſint, aut eadémne, aut diuerſa ſint voluntarium, & inuoluntarium. Maximè verò quidam aſſeuerant, & quærenti etiam ita fortè videri queat, electionem ex duobus his alterum eſſe, ſcilicet aut opinionẽ, aut appetitum: vtraque enim conſectanea videntur. Verùm appetitum non eſſe, patet ex eo quòd tum aut voluntatem, aut cupiditatem, aut iram eſſe neceſſum ſit: nemo quippe niſi horum aliquid patiens appetit. Ira porrò, cupiditáſque, etiam feris ineſt, electio verò nequaquam: & tamen quibus hæc ambo inſunt, multa abſque ira, cupiditatéque eligunt: ſed dum paſſionibus adfliguntur, non eligunt, ſed tolerant. Prætereà, cupiditati, iræque ſemper dolor iungitur: multa verò non abſque dolore eligimus. Voluntas inſuper, & electio idem non ſunt: volunt enim interdum etiam ea homines, quæ impoſſibilia norunt, vt omnibus hominibus imperare, immortalem eſſe, id quod nemo ſciẽs impoſſibile elegerit: & in vniuerſum, quæ & ſi non per ſe, ſed ſibi tamen impoſſibilia vel factu, vel omiſſu norit: vnde manifeſtũ, electionẽ eſſe rerũ penes nos ſitarum. Similiter clarum, nec opinionem eſſe, neque ſimpliciter, ſi quis aliquid putet, cum eligibile eiuſmodi quid ſit, quod viribus noſtris patetur. Multa verò opinione cõcipiunt, quæ penes nos non ſunt, vt diametrum commenſurabilem. Porrò nec vera eſt, nec falſa electio, ſed & nec rerũ penes nos ſitarum opinio, qua faciẽdum aliquid,

A τὸ ἐναντίον ἄρα ἑκούσιον. ὅσα μὲν οὖν ἐφ' αὐτῷ ὂν μὴ πράττειν, πράττει μὴ ἀγνοῶν, καὶ δι' αὐτόν, ἑκούσια ταῦτ' ἀνάγκη εἶναι, καὶ τὸ ἑκούσιον τοῦτ' ἐστὶν· ὅσα δ' ἀγνοῶν, καὶ διὰ τὸ ἀγνοεῖν, ἄκων. ἐπεὶ δὲ τὸ ἐπίστασθαι καὶ τὸ εἰδέναι διττόν, ἓν μὲν τὸ ἔχειν, ἓν δὲ τὸ χρῆσθαι τῇ ἐπιστήμῃ, ὁ ἔχων, μὴ χρώμενος δὲ, ἔστι μὲν ὡς δικαίως ἀγνοῶν λέγοιτο· ἔστι δ' ὡς οὐ δικαίως.
B οἷον εἰ δι' ἀμέλειαν μὴ ἐχρῆτο. ὁμοίως δὲ καὶ μὴ ἔχων τις ψέγοιτο ἄν, εἰ ὃ ῥᾴδιον ἢ ἀναγκαῖον ἦν, μὴ ἔχει δι' ἀμέλειαν ἢ ἡδονὴν ἢ λύπην. ταῦτ' οὖν προσδιοριστέον. περὶ μὲν οὖν τοῦ ἑκουσίου καὶ ἀκουσίου διωρίσθω τοῦτον τὸν τρόπον.

Κεφάλαιον ι.

C Περὶ δὲ προαιρέσεως μετὰ τοῦτο λέγωμεν, διαπορήσαντες πρῶτον τῷ λόγῳ περὶ αὐτῆς. διστάσειε γὰρ ἄν τις ἐν τῷ γένει πέφυκε, καὶ ἐν ποίῳ θεῖναι αὐτὴν χρὴ, καὶ πότερον οὐ ταὐτὸ τὸ ἑκούσιον καὶ τὸ προαιρετὸν, ἢ ταὐτά ἐστι. μάλιστα δὲ λέγεται παρά τινων, καὶ ζητοῦντι δόξειεν ἂν δυοῖν εἶναι θάτερον ἡ προαίρεσις, ἤτοι δόξα, ἢ ὄρεξις· ἀμφότερα γὰρ φαίνεται παρακολουθοῦντα.
D ὅτι μὲν οὖν οὐκ ἔστιν ὄρεξις, φανερόν. ἢ γὰρ βούλησις ἂν εἴη, ἢ ἐπιθυμία, ἢ θυμός. οὐδεὶς γὰρ ὀρέγεται μηδὲν πεπονθὼς τούτων. θυμὸς μὲν οὖν καὶ ἐπιθυμία καὶ τοῖς θηρίοις ὑπάρχει, προαίρεσις δ' οὔ. ἔτι δὲ καὶ οἷς ὑπάρχει ἄμφω ταῦτα, πολλὰ καὶ ἄνευ θυμοῦ καὶ ἐπιθυμίας προαιροῦνται· καὶ ἐν τοῖς πάθεσιν ὄντες οὐ προαιροῦνται, ἀλλὰ καρτεροῦσιν. ἔτι
E ἐπιθυμία μὲν καὶ θυμὸς ἀεὶ μετὰ λύπης· προαιρούμεθα δὲ πολλὰ καὶ ἄνευ λύπης. ἀλλὰ μὴν οὐδὲ βούλησις καὶ προαίρεσις ταὐτόν. βούλονται μὲν γὰρ ἔνια καὶ τῶν ἀδυνάτων εἰδότες, οἷον βασιλεύειν τε πάντων ἀνθρώπων, καὶ ἀθάνατοι εἶναι. προαιρεῖται δ' οὐδεὶς μὴ ἀγνοῶν ὅτι ἀδύνατον· οὐδ' ὅλως ὃ δυνατὸν μὲν, μὴ ἐφ' αὑτῷ δ' οἴεται πρᾶξαι
F ἢ μὴ πρᾶξαι. ὥστε τοῦτο μὲν φανερὸν, ὅτι ἀνάγκη τὸ προαιρετὸν τῶν ἐφ' αὑτῷ τι εἶναι. ὁμοίως δὲ δῆλον ὅτι οὐδὲ δόξα, οὐδ' ἁπλῶς εἴ τις οἴεταί τι. τῶν γὰρ ἐφ' αὑτῷ τι εἶναι, τὸ προαιρετὸν. δοξάζομεν δὲ πολλὰ καὶ τῶν οὐκ ὄντων ἐφ' ἡμῖν, οἷον τὴν διάμετρον σύμμετρον. ἔτι οὐκ ἔστι προαίρεσις ἀληθὴς ἢ ψευδής. οὐδὲ δὴ ἡ τῶν ἐφ' αὑτῷ ὄντων πρακτῶν δόξα, ᾗ τυγχάνομεν οἰόμενοι δεῖν τι πράτ-